μὴ δῷς ἔκνηψιν σεαυτῇ, μὴ σιωπήσαιτο, θύγατερ, ὁ ὀφθαλμός σου.
19 Ἀνάστα ἀγαλλίασαι ἐν νυκτὶ εἰς ἀρχὰς φυλακῆς σου,
ἔκχεον ὡς ὕδωρ καρδίαν σου ἀπέναντι προσώπου κυρίου,
ἆρον πρὸς αὐτὸν χεῖράς σου περὶ ψυχῆς νηπίων σου
τῶν ἐκλυομένων λιμῷ ἐπ᾿ ἀρχῆς πασῶν ἐξόδων.
20 Ἰδέ, κύριε, καὶ ἐπίβλεψον τίνι ἐπεφύλλισας οὕτως·
εἰ φάγονται γυναῖκες καρπὸν κοιλίας αὐτῶν;
ἐπιφυλλίδα ἐποίησεν μάγειρος· φονευθήσονται νήπια θηλάζοντα
μαστούς;
ἀποκτενεῖς ἐν ἁγιάσματι κυρίου ἱερέα καὶ προφήτην;
21 Ἐκοιμήθησαν εἰς τὴν ἔξοδον παιδάριον καὶ πρεσβύτης·
παρθένοι μου καὶ νεανίσκοι μου ἐπορεύθησαν ἐν αἰχμαλωσίᾳ·
ἐν ῥομφαίᾳ καὶ ἐν λιμῷ ἀπέκτεινας, ἐν ἡμέρᾳ ὀργῆς σου ἐμαγεί-
ρευσας, οὐκ ἐφείσω.
22 Ἐκάλεσεν ἡμέραν ἑορτῆς παροικίας μου κυκλόθεν,
καὶ οὐκ ἐγένοντο ἐν ἡμέρᾳ ὀργῆς κυρίου ἀνασῳζόμενος καὶ κατα-
λελειμμένος,
ὡς ἐπεκράτησα καὶ ἐπλήθυνα ἐχθρούς μου πάντας.
3 Ἐγὼ ἀνὴρ ὁ βλέπων πτωχείαν ἐν ῥάβδῳ θυμοῦ αὐτοῦ ἐπ᾿ ἐμέ·
2 παρέλαβέν με καὶ ἀπήγαγεν εἰς σκότος καὶ οὐ φῶς,
3 πλὴν ἐν ἐμοὶ ἐπέστρεψεν χεῖρα αὐτοῦ ὅλην τὴν ἡμέραν.
4 Ἐπαλαίωσεν σάρκας μου καὶ δέρμα μου, ὀστέα μου συνέτριψεν·
5 ἀνῳκοδόμησεν κατ᾿ ἐμοῦ καὶ ἐκύκλωσεν κεφαλήν μου καὶ ἐμόχθησεν,
6 ἐν σκοτεινοῖς ἐκάθισέν με ὡς νεκροὺς αἰῶνος.
7 Ἀνῳκοδόμησεν κατ᾿ ἐμοῦ, καὶ οὐκ ἐξελεύσομαι, ἐβάρυνεν χαλκόν μου·
8 καί γε κεκράξομαι καὶ βοήσω, ἀπέφραξεν προσευχήν μου·
9 ἀνῳκοδόμησεν ὁδούς μου, ἐνέφραξεν τρίβους μου, ἐτάραξεν.
10 Ἄρκος ἐνεδρεύουσα αὐτός μοι, λέων ἐν κρυφαίοις·
11 κατεδίωξεν ἀφεστηκότα καὶ κατέπαυσέν με, ἔθετό με ἠφανισμένην·
12 ἐνέτεινεν τόξον αὐτοῦ καὶ ἐστήλωσέν με ὡς σκοπὸν εἰς βέλος.
13 Εἰσήγαγεν τοῖς νεφροῖς μου ἰοὺς φαρέτρας αὐτοῦ·
14 ἐγενήθην γέλως παντὶ λαῷ μου, ψαλμὸς αὐτῶν ὅλην τὴν ἡμέραν·
15 ἐχόρτασέν με πικρίας, ἐμέθυσέν με χολῆς.
16 Καὶ ἐξέβαλεν ψήφῳ ὀδόντας μου, ἐψώμισέν με σποδόν·
17 καὶ ἀπώσατο ἐξ εἰρήνης ψυχήν μου, ἐπελαθόμην ἀγαθὰ
18 καὶ εἶπα Ἀπώλετο νεῖκός μου καὶ ἡ ἐλπίς μου ἀπὸ κυρίου.

$18^{3}$ σιωπ. θυγ. ο οφθ. BSA pau.] σιωπησατω(uel sim.) κορη οφθαλμου(uel -μων) rel. = 𝔐: σιωπησατω etiam Sc || $19^{1}$ εν > S† | $19^{2}$ προσ.] pr. του S | $19^{3}$ αρον] + αρον A† | σου $2^{0}$ > B*† | $19^{4}$ εκλυομ.] + σου S† || $20^{1}$ επεφυλλισας] -φαυλι- A†: cf. 1 22 | $20^{3}$ μασθους A || $22^{2}$ εγενετο A
3 2 απηγ.] + με A || 4 σαρκας] ς > B, pr. τας A || 6 ως νεκρους] εν σκοτινοις A† || 8 και $2^{0}$] + γε A† || 11 με $1^{0}$ > A || 14 παντι] + τω A || 16 και > A | οδοντας] pr. τους A || 18 ειπα > BA†